# ΑΠΑΝΤΑ ΤΑ ΥΜΝΟΓΡΑΦΙΚΑ ΤΟΥ ΜΑΤΘΑΙΟΥ ΒΛΑΣΤΑΡΗ*

ΗΤΟΙ

κριτικὴ ἔκδοσις πάντων τῶν κατανυκτικῶν καὶ ἀντιαιρετικῶν Στιχηρῶν καὶ Μακαρισμῶν τοῦ Ματθαίου Βλάσταρη (ιδ΄ αἰ.), ἐπὶ τῇ βάσει τῶν γνωστῶν χειρογράφων κωδίκων (editio princeps).

ΥΠΟ

Π. Β. ΠΑΣΧΟΥ

## *ΜΕΡΟΣ ΤΡΙΤΟΝ*

## ΜΑΚΑΡΙΣΜΟΙ ΤΩΝ ΟΚΤΩ ΗΧΩΝ

### *Γ΄.*

|| *Ἦχος α΄, οὗ ἡ ἀκροστιχίς·* || *f. 44v*

*ΠΡΩΤΟΝ ΜΕΛΟΣ ΜΑΤΘΑΙΟΣ ᾼΔΕΙ ΤΩ͂Ι ΜΟΝΩ͂Ι ΜΑΚΑΡΙΩ͂Ι.*

*Ἦχος α΄. Ὁ εἱρμός· Διὰ βρώσεως ἐξήγαγε.*

*ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι.*

⟨α΄⟩

*Προσκυνῶ σου τὰ παθήματα,*
*δι᾽ ὧν ἐρρύσω με τοῦ σκότους παθῶν,*
*καθοπλισθέντα τῷ σταυρῷ*
*κατὰ πάσης μεθοδείας ἐχθροῦ,*
*δόλους ἀεὶ ῥάπτοντος,*
*ἵν᾽ ἑλκύσῃ φεῦ με πρὸς ἀπώλειαν.*

---

* Συνέχεια ἐκ τῆς σελ. 781 τοῦ προηγουμένου τόμου.

*O*

In tit. ante Μακαρισμοὶ τῶν ὀκτὼ ἤχων cod. habet:
Ἕκαστος ἦχος τοῦ ποσοῦ τῆς ὀκτάδος,
ἑπτὰ Μακαρισμοὺς φέρει καὶ τρεῖς δέκα,
ὡς δὶς ἑκατὸν καὶ δεκάδας ἐννέα,
σὺν ἓξ ἅπαντας συμποσοῦσθαι τοὺς ὅλους·
Ματθαῖος οἰκτρὸς δ᾽ ἐν μονασταῖς καὶ θύτης
ἔπλεξε τούτους τῷ μόνῳ μακαρίῳ.

in acrost. ᾄδει post Ματθαῖος correxi: πλέκει O.

in margine: Τοὺς ἀτελέστους μακαρισμοὺς ζήτει πεπληρωμένους ὄπισθεν ἐν τοῖς μακαρισμοῖς τῆς Πεντηκοστῆς.

---

*α΄ 4.* Ἐφεσ. ς΄ 11.

⟨β'⟩

Ῥιπιζόμενον τῷ κλύδωνι
τῶν ἀκαθάρτων ἐν καρδίᾳ παθῶν,
τῇ ἀναστάσει σου, Χριστέ,
πρὸς γαλήνην ἀπαθείας καὶ φῶς
ἴθυνον καὶ δεῖξόν με
υἱὸν ὄντως θείας ἀναστάσεως.

⟨γ'⟩

Ὡς Μαρία θεασόμεθα
ἐξαναστάντα τὸν Χριστὸν μυστικῶς,
ἂν ἄρχειν σπεύσωμεν παθῶν,
ὡς Μαρίας καὶ ἡ κλῆσις δηλοῖ·
μὴν οὖν ὑστερήσωμεν
πρὸς τὰ κρείττω γυναικείας φύσεως.

⟨δ'⟩

Τὰς θυρίδας ἀποκλείσωμεν,
τὰς τῶν...

⟨ε'⟩

Οὐ Κυρίῳ συνεσταύρωται
ὁ ἐμπαθεῖς κινήσεις ἔχων σαρκός·
οὐ συνετάφη ὁ στοιχῶν
ἐνθυμήσεσι κακῶς ψυχικαῖς·
πῶς οὖν ἀναστήσεται
σὺν Κυρίῳ ζωῆς ἐν καινότητι;

⟨ϛ', τριαδικόν⟩.

Νῦν ἀμφότερον ἐπίγνωθι...

⟨ζ'⟩ θ⟨εοτοκίον⟩.

Μεγαλύνω τὸ μυστήριον
τῆς σῆς σεπτῆς οἰκονομίας, Χριστέ,
ὅτι τὸν πάλαι καθ' ἡμῶν
θρασυνόμενον καθεῖλες ἐχθρόν,

---

O
δ' Cf. Β' γ'.
ϛ' Cf. Β' ια'.

---

β' 6. Λουκ. κ' 36.
γ' 1-2. Ἰωάν. κ' 11.
ε' 1. Ρωμ. ϛ' 6. 3-6. Ρωμ. ϛ' 4.

*δείξας τὴν τεκοῦσάν σε*
*τοῦ τροπαίου τούτου τὸ κεφάλαιον.*

## *Τῌ ΔΕΥΤΕΡᾼ.*

*Διὰ βρώσεως.*

*⟨η′⟩*

*Ἐδεδώκει σοι τὴν πρόνοιαν,*
*ψυχή, τοῦ σώματος ὁ πάντων Θεός·*
*καθάπερ ἔργον γὰρ αὐτῷ*
*ἡ διοίκησις ἐστὶ τοῦ παντός,*
*οὕτω σοὶ τοῦ σώματος·*
*ὅρα, τοίνυν, μὴ φανῇς ἀδόκιμος.*

*⟨θ′⟩*

*Λογισμῶν ἀτόπων ῥῦσαί με*
*ταῖς ἱκεσίαις, ὡς οἰκτίρμων Θεός,*
*τῶν νοερῶν σου λειτουργῶν,*
*οὓς ἀνθρώποις || ἀγωγοὺς ἀγαθοὺς* || *f. 45r*
*φέρειν ἄνω δέδωκας,*
*πρὸς ἐκείνην τὴν πρώτην εὐγένειαν.*

*⟨ι′, μαρτυρικόν⟩.*

*Ὁ Βελίαρ ταραττόμενος*
*τῇ εὐσεβείᾳ τε ὁμόσε χωρῶν,*
*πᾶσαν ἐκίνησεν ὁρμὴν*
*κατὰ τῶν ὑπεραθλούντων αὐτῆς·*
*οὗτοι δ᾽ ἄχρις αἵματος*
*ἀντιστάντες ἐκεῖνον κατήσχυναν.*

*⟨ια′, τριαδικόν⟩.*

*Συνιδεῖν ἐστι τὸ ἄτοπον,*
*ὡς τῷ αἰτίῳ μείζων...*

---

*O*
*ια′* Cf. Β′ λς′.

---

*ι′ 1.* Β′ Κορ. ς′ 15. *5-6.* Α′ Πέτρ. ε′ 9. Πρβλ. δ′ 7.

⟨ιβ'⟩ θ⟨εοτοκίον⟩.

Μαρανθεῖσαν πολλοῖς πταίσμασιν
ἐλεεινῶς ἡμῶν τὴν φύσιν, ἁγνή,
ὁ κτίστης ταύτης καὶ Θεός,
ἀνεζώωσεν ἐκ σοῦ γεννηθείς,
σὲ δὲ πᾶσιν ἔδειξε
προστασίαν καὶ πρόμαχον ἄμαχον.

## Τῌ͂ ΤΡΙΤῌ.

Διὰ βρώσεως.

⟨ιγ'⟩

Ἀπηλλάχθαι μὴ θελήσασα
τῶν κοσμικῶν τρικυμιῶν, ὦ ψυχή,
πῶς τὴν παθῶν ἀπαλλαγὴν
ἰδεῖν ἕξεις ἐν ἐλπίσι ποτέ;
Κράξον οὖν σὺν δάκρυσι·
σύ, ὡς οἶδας, οἰκτίρμον, ἐλέησον.

⟨ιδ'⟩

Τοῦ ἀδύτου φωτός, Πρόδρομε,
ὤφθης προλάμπων ὥσπερ λύχνος Χριστοῦ,
τοῦ ἐκ νεφέλης φωτεινῆς
ἀνατείλαντος ἀρρήτως ἡμῖν·
τοῦτον οὖν ἱκέτευε
καταυγάσαι ψυχὰς τῶν ὑμνούντων σε.

⟨ιε', μαρτυρικόν⟩.

Θείαν ὄντως ἐκομίσασθε
παντοίοις πόνοις, ἀθλοφόροι, ζωήν,
ποτὲ πραθεῖσαν ἡδονῇ,
ἥτις θάνατον παρέσχε τρυγᾶν,
οὗ τὸ κέντρον θραύσαντες
γνώμης ὄγκῳ, τοῦτον συγκαθείλετε.

⟨ις', τριαδικόν⟩.

Ἀμετάπτωτον τὸ ἴδιον
τὸ τῶν προσώπων τῆς Τριάδος ἀεί·

---

ιδ' 1-2. Πρβλ. Πράξ. ιγ' 24.
ιε' 4-5. Α' Κορ. ιε' 56.

*Πατὴρ οὖν αἴτιος, ἀρχὴ*
*τοῦ Υἱοῦ καὶ Πνεύματος ἐστίν,*
*ὥσπερ ἐξηγήσατο*
*ὁ Υἱός, οὐκ αὐτὸς αὖ τοῦ Πνεύματος.*

⟨ιζ'⟩ θ⟨εοτοκίον⟩.

*Ἰησοῦς, Παρθένε, τίκτεται*
*ἐκ σοῦ, μὴ γνούσης πεῖραν ὅλως ἀνδρός,*
*ὡς ἦν καὶ ἕτερος δεικνὺς*
*τῷ Θεῷ προεγνωσμένος ἡμῶν*
*τρόπος τῆς αὐξήσεως,*
*εἰ μὴ τότε παρέβη ὁ ἄνθρωπος.*

Τῌ ΤΕΤΑΡΤῌ. *Διὰ βρώσεως.*

⟨ιη'⟩

*Ὀφλημάτων λύσιν βράβευσον*
*τοῖς ἀνυμνοῦσί σου τὰ πάθη, Χριστέ,*
*καὶ τούτων αἴσθησιν λαβεῖν*
*ἐν καρδίᾳ, δεομένοις ἀεί,*
*ἔνθα τὸ μυστήριον*
*ἐνεργεῖται τῆς οἰκονομίας σου.*

⟨ιθ'⟩

*Σωτηρίαν ἡμῖν δώρησαι*
*τοῖς προσκυνοῦσί σου τὰ πάθη, Σωτήρ,*
*σταυρὸν καὶ τρῶσιν τῆς πλευρᾶς,*
*δι' ὧν πέπτωκε δαιμόνων ὀφρῦς*
*καὶ ὑμεῖς ὑψώθημεν*
*εἰς ἐκεῖνο τὸ πρῶτον ἀξίωμα.*

⟨κ', μαρτυρικόν⟩.

*Ἀθλοφόροι, παρετάξασθε*
*ὡς ἐν σταδίῳ τῷ παρόντι καιρῷ,*
*τὰς τῶν ἐχθρῶν ἐπιφορὰς*
*καρτερήσαντες ἀνδρείᾳ ψυχῆς,*

---

*O*
*ις' 4.* τοῦ ante Πνεύματος fortasse addendum m. g.

---

*ις' 5-6.* Ἰωάν. α' 18.
*ιη' 4-6.* Πρβλ. Β' Κορ. α' 22.
*κ' 1-2.* Α' Κορ. θ' 24.

*πᾶσιν οὕτω δείξαντες*
*πρὸς τὰ πάθη στερρῶς ἀγωνίζεσθαι.*

*⟨κα', τριαδικόν⟩.*

*Δόγμα λύεις τὸ τῆς πίστεως,*
*τὴν πέμψιν λέγων ἐκπορεύσει ταὐτὸν*
*καὶ γὰρ οὐ δόξα τῷ Υἱῷ*
*τοῦ ἰδίου τῷ Πατρὶ κοινωνεῖν,*
*μάλιστα δὲ σύγχυσις*
*τῶν προσώπων τῆς μιᾶς θεότητος.*

*⟨κβ'⟩ θ⟨εοτοκίον⟩.*

*Ἐκ τῶν κρύφα τῇ καρδίᾳ μου*
*ἐνεργουμένων λογισμῶν πονηρῶν,*
*τῇ τοῦ ἐλέους σου ῥοπῇ,*
*παρασχοῦσά μου τῷ νῷ προσοχήν,*
*κάθαρόν με, Δέσποινα,*
*καὶ τοῖς θείοις τοῦ Υἱοῦ σου πάθεσιν.*

|| *Τῌ ΠΕΜΠΤῌ.* || *f. 45v*

*Διὰ βρώσεως.*

*⟨κγ'⟩*

*Ἱερώτατοι Ἀπόστολοι,*
*καὶ κοινωνοί...*

*⟨κδ'⟩*

*Ταῖς εὐχαῖς τῶν Ἀποστόλων σου,*
*ῥῦσαί με φαύλης συνηθείας, Χριστέ,*
*τῶν γὰρ τραυμάτων ἡ πληθὺς*
*ὑποθράττει μου δεινῶς τὴν ψυχήν,*
*μήπως τῆς πυρώσεως*
*τῆς ἐκεῖθεν ποιήσῃ ὑπεύθυνον.*

---

O

κγ' Cf. B' κδ'.

---

κβ' 1-2. Ματθ. ιε' 19.

⟨κε', μαρτυρικόν⟩.

*Ὡς ἀνύσαντες ἐστέφθητε*
*νομίμως τοὺς ἀγῶνας, σοφοί,*
*ἐν τῷ καλοῦντι τοῦ καιροῦ·*
*οὔτε γὰρ ἐθελονταὶ κατελθεῖν,*
*οὔτε ἀναδύσασθαι*
*τῶν ἀγώνων προκειμένων εἵλεσθε.*

⟨κϛ', τριαδικόν⟩.

*Μυηθῶμεν [τὴν] ἐκπόρευσιν,*
*τὴν ἐξ Υἱοῦ, ὁποία τίς σοι δοκεῖ·*
*εἰ μὲν ὁμοία τοῦ Πατρός,*
*κοινὸν γέγονε τὸ ἴδιον, λοιπόν·*
*εἴπερ δὲ ἀνόμοιος,*
*ὁ Μαρκίων πάλιν ἀνεβλάστησεν.*

⟨κζ'⟩ θ⟨εοτοκίον⟩.

*Ὁπηνίκα τὸ κριτήριον*
*ἐνθυμηθῶ ὡς πονηρὰ πεπραχώς,*
*κόπτομαι, κλαίω καὶ θρηνῶ,*
*τὴν ἀπόφασιν ἐκείνην ἐννοῶν,*
*ἧς ὁ ἐξαιρούμενος,*
*πλήν σου ἄλλος οὐδείς, παναμώμητε.*

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ.

*Διὰ βρώσεως.*

⟨κη'⟩

*Νεκρωθεὶς ἐν ξύλῳ, δέσποτα,*
*καὶ τὸν ἀρχέκακον νεκρώσας ἐχθρόν,*
*ζωὴν ἐπήγασας ἡμῖν,*
*διὰ ξύλου νεκρωθεῖσι τὸ πρίν·*
*ὅσοι γὰρ προκρίνουσι*
*τῆς σῆς μνήμης τὴν κακίαν θνήσκουσιν.*

---

O
κε' 2. πάντας post νομίμως fortasse addendum m.g.
κϛ' 1. τὴν ante ἐκπόρευσιν addidi.

---

κε' 1-3. Β' Τιμ. β' 5.
κζ' 1. Δαν. (Σωσ.) ζ' 10.
κη' 4. Γεν. γ' 11.

⟨κθ′⟩

*῾Ως ἐχέφρονες σκοπήσωμεν,*
*οἱ τὸν σταυρὸν ἀναλαβόντες Χριστοῦ,*
*ἵνα μετίωμεν καλῶς*
*τὸ διπλοῦν τῆς ἐνεργείας αὐτοῦ,*
*πρᾶξιν ὑποθέμενοι*
*θεωρίᾳ, ὡς ὕλην τοῖς εἴδεσιν.*

⟨λ′, μαρτυρικόν⟩.

*Μετηγάγετε, οἱ μάρτυρες...*

⟨λα′, τριαδικόν⟩.

*῾Απλοῦν εἶναι οἱ πιστεύοντες*
*τὸ Πνεῦμα ὡς Θεὸν ἀληθῆ,*
*ἐκπορευτὸν δὲ ἐξ ἀμφοῖν*
*τοῦ Πατρός τε καὶ Υἱοῦ, δυσσεβῶς*
*λέγοντες, λελήθασι*
*μᾶλλον τοῦτο, διπλοῦν τε καὶ σύνθετον.*

⟨λβ′⟩ θ⟨εοτοκίον⟩.

*Κατανύξεώς με ἔνδυσον*
*στολήν, ὁ χλαῖναν ἐνδυθεὶς παικτικῶς,*
*ταῖς τῆς μητρός σου προσευχαῖς,*
*ἀπεκδύσας ἣν περίκειμαι σαπράν,*
*δι᾿ ἔλεος ἄφατον,*
*ὅταν, Λόγε, δικάσῃς τὰ σύμπαντα.*

## Τῼ ΣΑΒΒΑΤῼ.

Διὰ βρώσεως.

⟨λγ′⟩

*᾿Αθλητῶν ὁ θεῖος ὅμιλος*
*ἀρχιερέων καὶ σοφῶν γυναικῶν*
*καὶ προφητῶν πανευκλεῶν,*
*ὡς τῆς φύσεως ἡμῶν ἀπαρχή,*

O
λ′ Cf. B′ ι′.
λα′ 2. fortasse θεῖον ante Πνεῦμα addendum m.g.

κθ′ 2. Ματθ. ις′ 24.
λβ′ 2. Ματθ. κζ′ 28. 6. Πράξ. ιζ′ 31. Ρωμ. β′ 16.
λγ′ 4. Πρβλ. Ρωμ. ια′ 16.

Σῶτερ, ἱκετεύει σε,
ἡμῖν δοῦναι πταισμάτων τὴν ἄφεσιν.

⟨λδʹ, μαρτυρικόν⟩.

Ῥώμῃ φύσεως οἱ μάρτυρες
τὸ ἠλαττῶσθαι παρ᾽ ἀγγέλους αὐτούς,
διὰ τὸ θνήσκειν τῇ σαρκί,
ἀφορμὴν τοῦ εἶναι θέσει θεοὶ
μᾶλλον ἐποιήσαντο,
ὑπελθόντες εὐψύχως τὸν θάνατον.

⟨λεʹ⟩

Ἱλασμὸν πταισμάτων βράβευσον
τοῖς μεταστᾶσιν, ὡς οἰκτίρμων, πιστοῖς,
ἕως καιρός ἐστιν ἡμῶν
προσδεχόμενος λιτὰς ὑπὲρ αὐτῶν,
πρὶν ἢ τὸ κριτήριον
κλεῖσαι πᾶσι τὸ μέγα σου ἔλεος.

⟨ληʹ, τριαδικόν⟩.

Ὥσπερ πάντες δογματίζουσιν
ἐν τῷ Θεῷ εἶναι μηδὲν ἀτελές,
εἴπερ πιστεύεις καὶ αὐτός,
περιττὴ ἡ ἐξ Υἱοῦ προβολὴ
πέφυκε τοῦ Πνεύματος,
τῆς || πατρόθεν ἐχούσης τὸ τέλειον. || f. 46r

⟨λζʹ⟩ θ⟨εοτοκίον⟩.

Ὤφθη, κόρη, τὸ ἀνθρώπινον
ἐκ σοῦ λαβὼν ὁ οὐσιώσας τὸ πᾶν,
καὶ τὸν ἐχθρόν, τὸν εἰς φθορὰν
συνωθήσαντα ἡμᾶς καθελών,
ἅπαντας ἀνέπλασε
τοῖς οἰκείοις δι᾽ ἔλεον πάθεσιν.

---

λδʹ 2. Ψαλμ. ηʹ 6. Πρβλ. Ἑβρ. βʹ 7.
λζʹ 1-2. Ἰωάν. αʹ 14.

## *ΙΑ΄.*

## *ΕΤΕΡΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.*

*Ἦχος β΄, ὧν ἡ ἀκροστιχίς·*

*ΜΑΤΘΑΙΟΣ ᾼΔΕΙ ΔΕΥΤΕΡΟΝ ΧΡΙΣΤῼ ΜΕΛΟΣ, ΜΟΝΑΧΟΣ.*

### *Τῌ ΚΥΡΙΑΚῌ.*

*Ἦχος β΄. Ὁ εἱρμός· Μνήσθητι, εὔσπλαγχνε.*

*⟨α΄⟩*

*1 Μύρον εὐῶδες ἡ ...*

*⟨β΄⟩*

*1 Ἄγει τὸ κράτιστον ὁ Χριστὸς*
*λῃστὴν τῶν λαφύρων τῶν τοῦ ἐχθροῦ,*
*ἀναστὰς τριήμερος ἐκ νεκρῶν.*

*⟨γ΄⟩*

*1 Τὴν ἐξ αἱμάτων φύσιν ἡμῶν...*

*⟨δ΄⟩*

*1 Θέρμη τῆς θεότητος ὁ Χριστός...*

*⟨ε΄⟩*

*1 Ἀκάνθινος στέφανος ὁ τεθείς...*

*⟨ϛ΄, τριαδικόν⟩.*

*1 Ἰδιωμάτων τῶν τοῦ Πατρός...*

*⟨ζ΄⟩ θ⟨εοτοκίον⟩.*

*1 Ὁ Λόγος ἐκ σοῦ προ....*

---

*O*
*α΄.* Cf. Γ΄ α΄.
*γ΄.* Cf. Γ΄ γ΄.
*δ΄.* Cf. Γ΄ δ΄.
*ε΄.* Cf. Γ΄ ε΄.

---

*β΄ 2.* Λουκ. κγ΄ 43.

## *ΤΗ ΔΕΥΤΕΡΑ.*

*Ἦχος ὁ αὐτός. ⟨Εἱρμός·⟩ Τὴν φωνήν σοι προσάγομεν.*

*⟨η′⟩*

1 *Συληθεῖσαν τοῖς δαίμοσι*
*τὴν καρδίαν μου, δέσποτα,*
*δεῖξον ἀγαθῶν ἔργων πλήρη*
*διδούς μοι μετάνοιαν.*

*⟨θ′⟩*

1 *Ἁμαρτάνων οὐ παύομαι,*
*τὴν καρδίαν πεπώρωμαι·*
*τῇ πρεσβείᾳ τῶν ἀσωμάτων,*
*Σωτήρ, δίδου δάκρυα.*

*⟨ι′⟩*

1 *Δόξης πάσης ἠλόγησαν...*

*⟨ια′, τριαδικόν⟩.*

1 *Ἐλαττοῖς, τὸν Παράκλητον...*

*⟨ιβ′⟩ θ⟨εοτοκίον⟩.*

1 *Ἱλασμὸν ἡμῖν αἴτησαι...*

## *ΤΗ ΤΡΙΤΗ.*

*Τὴν φωνήν.*

*⟨ιγ′⟩*

1 *Δός μοι χεῖρα, φιλάνθρωπε,*
*τῷ ἀθλίῳ, κειμένῳ νῦν*
*ἐν τῷ τάφῳ τῆς ἀμελείας,*
*σπουδὴν δωρησάμενος.*

*⟨ιδ′⟩*

1 *Εὐσπλαγχνίας τὴν ἄβυσσον*

---

O
ς′. Cf. Γ′ ς′.
ζ′. Cf. Γ′ ζ′.
η′. in tit. εἱρμὸς addidi.
ι′. Cf. Γ′ ι′.
ια′. Cf. Γ′ ια′.
ιβ′. Cf. Γ′ ιβ′.

*ὁ βαπτίσας ἐν ὕδατι,*
*Πρόδρομε, κακῶν μου, εὐχαῖς σου,*
*τὴν ἄβυσσον ξήρανον.*

⟨ιε′⟩

1 *Ὑμᾶς ὅλως οὐκ ἔκαμψε...*

⟨ις′⟩

1 *Τὸ δυσὶ διαστέλλεσθαι...*

⟨ιζ′⟩ *θ⟨εοτοκίον⟩.*

1 *Ἐσαρκώθη ἐν μήτρᾳ σου...*

*Τῌ ΤΕΤΑΡΤῌ.*

*Τὴν φωνήν.*

⟨ιη′⟩

1 *Ῥυπωθεῖσαν τοῖς πάθεσι...*

⟨ιθ′⟩

1 *Ὃν ὁ ὄφις ἐνέβαλε...*

⟨κ′⟩

1 *Νοουμένου συμπλήρωσις...*

⟨*κα′, τριαδικόν*⟩.

1 *Χαίρειν φράσον τοῖς νέμουσι...*

⟨*κβ′, θεοτοκίον*⟩.

1 *Ῥῦσαι πάσης κακώσεως...*

---

*O*

*ιε′*. Cf. Γ′ ιε′.
*ις′*. Cf. Γ′ ις′.
*ιζ′*. Cf. Γ′ ιζ′.
*ιη′*. Cf. Γ′ ιη′.
*ιθ′*. Cf. Γ′ λγ′.
*κ′*. Cf. Γ′ κ′.
*κα′*. Cf. Γ′ κα′.
*κβ′*. Cf. Γ′ κβ′.

---

*ιδ′*. *2-3*. Ματθ. γ′ 16. Μάρκ. α′ 3.

## ΤΗ ΠΕΜΠΤΗ.

*Τὴν φωνήν.*

*⟨κγ', ἀποστολικόν⟩.*

1 *Ἰουδαίους εἱλκύσατε*
*τοῖς σημείοις, Ἀπόστολοι,*
*ῥήτορας δ' Ἑλλήνων τῇ θείᾳ*
*σοφίᾳ τοῦ Πνεύματος.*

*⟨κδ'⟩*

1 *Συμπλακέντες, Ἀπόστολοι,...*

*⟨κε'⟩*

1 *Τῷ πυρὶ τῷ τοῦ Πνεύματος...*

*⟨κς', τριαδικόν⟩.*

1 *Ὡς Ἀδὰμ ἐκπεπόρευται...*

*⟨κζ', θεοτοκίον⟩.*

1 *Μεμακάρισται ἄνθρωπος...*

## ΤΗ ΠΑΡΑΣΚΕΥΗ.

*Τὴν φωνήν.*

*⟨κη'⟩*

1 *Ἐνεγκὼν ὕβρεις, Δέσποτα,*
*ὑβριστοῦ ἀπαλλάτεις με*
*δαίμονος ἐχθροῦ, τῷ σῷ πάθει*
*τιμῆς τε ἠξίωσας.*

*⟨κθ'⟩*

1 *Λύτρον ἔδωκας, Κύριε,*
*τὸ σὸν αἷμα καὶ ἔλυσας*
*πάντας τοῦ ἐχθροῦ τῆς δουλείας,*
*σαυτῷ τε συνήγαγες.*

---

*O*
*κδ'*. Cf. Γ' κδ'.
*κε'*. Cf. Γ' κε'.
*κς'*. Cf. Γ' κς'.
*κζ'*. Cf. Γ' κζ'.

---

*κγ' 1-2*. Α' Κορ. α' 22.
*κη'. 1*. Ἰωάν. ιθ' 2-3.
*κθ'. 1-2*. Α' Πέτρ. α' 18-19. Πρβλ. Τίτ. β' 14.

⟨λ'⟩

1 *Οὐδὲν ἧττους οἱ μάρτυρες...*

⟨λα'⟩

1 *Συνενοῦσθαι πιστεύομεν...*

⟨λβ'⟩ *θ⟨εοτοκίον⟩.*

1 *Μολυσμοῖς ὑπερβέβηκα*
*πάντα ἄνθρωπον, Δέσποινα,*
*τῷ οὖν αἵματι τοῦ Υἱοῦ σου*
*ἀπόσμηξον, δέομαι.*

*ΤΩ ΣΑΒΒΑΤΩ.*

*Τὴν φωνήν·*

⟨λγ', *μαρτυρικόν*⟩.

1 *Οἱ Χριστοῦ μιμησάμενοι*
*τὰ παθήματα, μάρτυρες,*
*πάθη τῆς ψυχῆς μου ποικίλα*
*ἰάσασθε, δέομαι.*

⟨λδ', *μαρτυρικόν*⟩.

1 *Ναυαγοῦσαν θεώμενοι*
*τὴν ὁλκάδα τῆς πίστεως*
*καὶ προκινδυνεύσαντες ταύτης,*
*μάρτυρες, ἐσώσατε.*

⟨λε'⟩

1 *Ἀποστόλων ὁ σύλλογος,*
*σὺν προφήταις οἱ ὅσιοι,*
*τὸν δημιουργὸν δυσωπεῖτε*
*ἡμῖν δοῦναι ἄφεσιν.*

⟨λς'⟩

1 *Χώρᾳ ζώντων τὰ πνεύματα*
*ἐγκατάταξον, Κύριε,*

---

*O*
λ'. Cf. Γ' λ'.
λα'. Cf. Γ' λα'.

---

λς' *1.* Πρβλ. Ἑβρ. ιβ' 22.

*τῶν τὴν εἰς σὲ πίστιν καὶ μόνην*
*ἐχόντων ἐφόδιον.*

⟨λζ'⟩

1 *Ὁ Υἱὸς ὅσα πρόσεστι...*

⟨λη'⟩

1 *Συνεχόμενον πάθεσι...*

---

*O*
*λζ'*. Cf. Γ' λζ'.
*λη'*. Cf. Γ' λη'.

## *ΙΒ'.*

## || *ΕΤΕΡΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.* || *f. 46v*

*Ἦχος γ', ὧν ἡ ἀκροστιχίς·*

*ΧΡΙΣΤῼ ΤΡΙΤΟΝ ΜΕΛΙΣΜΑ ΜΑΤΘΑΙΟΣ ΦΕΡΕΙ, ΤΑΛΑΣ.*

*ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι.*

*Ἦχος γ'. Ὁ εἱρμός· Ἀθετήσαντα, Χριστέ.*

*⟨α'⟩*

*Χολῆς χείρω ἡδονήν...*

*⟨β'⟩*

*Ῥῶσιν μᾶλλον τῇ ψυχῇ...*

*⟨γ'⟩*

*Ἴσον ζῴου λογικοῦ*
*τὸ ἑαυτοῦ ὥσπερ ἐσθῆτα, ὁ ναὸς*
*διαρραγεὶς καταπέτασμα,*
*τοὺς λογικοὺς ἐλέγχει*
*καὶ ὁ ἀναίσθητος δεινοπαθῶν*
*ἐπὶ σοῦ τοῖς πάθεσι, Κύριε,*
*τοὺς ἀνθρώπους ὁρῶν ἀναισθήτως ἔχοντας.*

*⟨δ'⟩*

*Σκιαγραφίᾳ ὡσανεὶ*
*καταπετάσματι ἐκρύπτετο, Σωτήρ,*
*τὸ ὑπὲρ νοῦν σου μυστήριον*

---

O
α'. Cf. Δ' α'.
β'. Cf. Δ' β'.
γ' 5. ὁρῶν s.l.

---

γ' 3. Ματθ. κζ' 51. Μάρκ. ιε' 38. Λουκ. κγ' 45.

*ἐν τοῖς τοῦ νόμου λόγοις*
*καὶ προφητῶν, διὸ σχίζεται νῦν*
*ὅ τε τύπος καὶ τὰ αἰνίγματα,*
*γεγονυίας αὐτῶν εἰς σὲ τῆς ἐκβάσεως.*

⟨ε'⟩

*Τοῦ γραπτοῦ νόμου, Σωτὴρ...*

⟨ϛ'⟩

*Ὧδε μάθοις ἂν εὐθύς...*

⟨ζ'⟩

*Τετοκυῖα ὑπὲρ νοῦν...*

## *ΤΗ͂Ι ΔΕΥΤΕΡΑ͂Ι.*

*Ἀθετή⟨σαντα, Χριστέ⟩.*

⟨η'⟩

*Ῥύπου πάρασχε, Σωτήρ,*
*ὅλον ῥυφθῆναί με καὶ αἶσχους τῶν παθῶν*
*τῆς μετανοίας τοῖς δάκρυσι,*
*μὴ προλαβὸν τὸ τέλος*
*ἀνωφελῆ μοι θείη τὴν ὁδόν,*
*τὴν πρὸς σωτηρίαν ἰθύνουσαν*
*τοὺς διψῶντας ἰδεῖν τὴν ἐκεῖ λαμπρότητα.*

⟨θ'⟩

*Ἱεροὶ θρόνοι Θεοῦ*
*τὰ Χερουβὶμ καὶ Σεραφὶμ καὶ αἱ Ἀρχαὶ*
*καὶ Κυριότητες, Ἄγγελοι,*
*Δυνάμεις, Ἐξουσίαι,*
*Ἀρχάγγελοι καὶ πᾶσα ἡ πληθὺς*
*Ἀσωμάτων, χεῖρα ὀρέξατε*
*τοῖς τοῦ βίου κακοῖς ἡμῖν προσπαλαίουσιν.*

---

O

ε'. Cf. Δ' λε'.
ϛ'. Cf. Δ' ϛ'.
ζ'. Cf. Δ' ζ'.

---

δ'. 4-5. Πρβλ. Ἑβρ. α' 1, ι' 1.

⟨ι'⟩

Τὴν ἐντακεῖσαν ἡδονήν...

⟨ια'⟩

Οὐ φρονήσεις εὐσεβῶς...

⟨ιβ'⟩ θ⟨εοτοκίον⟩.

Νοητὸν δι' ἑαυτόν...

## Τῌ ΤΡΙΤῌ.

Ἀθε⟨τήσαντα, Χριστέ⟩.

⟨ιγ'⟩

Μόνη, τάλαινα ψυχή,
διωσαμένη τοῦ Θεοῦ τὰς ἐντολάς,
πρὸς τὰ φθειρόμενα νένευκας,
δι' ὧν τὴν ὀλεθρίαν
εἰσδεξαμένη σύγχυσιν παθῶν
μηχαναῖς ἑάλως τοῦ δράκοντος·
πάσῃ δίκῃ, λοιπόν, γέγονας ὑπεύθυνος.

⟨ιδ'⟩

Ἐν γαστρὶ ὥσπερ ἐσμὲν
ὡς Ἰωάννης ἐν τῷ βίῳ καὶ ἡμεῖς,
λεπτῶς τὸν Λόγον γνωρίζοντες,
ὥσπερ ἐκεῖνος τότε,
ὡς ἐν κοιλίᾳ ὄντα καὶ αὐτόν,
ἐν τοῖς οὖσι μόλις φαινόμενον
τοῖς μετέχουσι νῦν τῆς ἐκείνου χάριτος.

⟨ιε'⟩

Λώβην παύετε παθῶν...

⟨ις'⟩

Ἴσμεν πάντες εὐσεβῶς...

---

O
ι'. Cf. Δ' ι'.
ια'. Cf. Δ' ια'.
ιβ'. Cf. Δ' ιβ'.
ιε'. Cf. Δ' ιε'.
ις'. Cf. Δ' ις'.

---

ιδ' 1-5. Λουκ. α' 41.

⟨ιζ', θεοτοκίον⟩.

*Σοῦ προῆλθεν ὁ Χριστός...*

## ΤΗ ΤΕΤΑΡΤΗ.

*Ἀθετή⟨σαντα, Χριστέ⟩.*

⟨ιη'⟩

*Μὴ θελήσας ὁ Χριστός...*

⟨ιθ'⟩

*Ἀνελθὼν εἰς τὸν σταυρόν...*

⟨κ', μαρτυρικόν⟩.

*Μόνῳ κάτοχοι Χριστοῦ*
*τῷ θείῳ πόθῳ γεγονότες, ἀθληταί,*
*τὴν πρὸς τὴν σάρκα διάθεσιν*
*ὥσπερ ἱστὸν ἀράχνης*
*διαλελύκατε ὑπερφυῶς,*
*τὰ ὑμῶν διὸ ἀπερίγραπτα*
*πνεύματα θεϊκῶς ἡ χάρις εἰργάσατο.*

⟨κα'⟩

*Ἀπορῶ τί ὅλως φής...*

⟨κβ', θεοτοκίον⟩.

*Τὸ μυστήριον, ἁγνή...*

## ΤΗ ΠΕΜΠΤΗ.

*Ἀθε⟨τήσαντα, Χριστέ⟩.*

⟨κγ', ἀποστολικόν⟩.

*Θράσους γέμουσα, ψυχή,*
*πόριμος γέγονας καὶ λίαν ἀναιδής,*
*πρὸς τὴν τῶν φαύλων ἐξεύρεσιν,*
*ἅτε τὴν δύναμίν σου*

---

O
ιζ'. Cf. Δ' ιζ'.
ιη'. Cf. Δ' ιε'.
ιθ'. Cf. Δ' ιθ'.
κα'. Cf. Δ' κγ'.
κβ'. Cf. Δ' κδ'.

*τὴν νοεράν, κακῶς τοῖς ὑλικοῖς*
*δι᾿ ἀπάτης ἅπαξ συνδή||σασα,* || f. 47r
*ἀλλὰ νῦν γοῦν εἰπέ· Ἀπόστολοι, σώσατε.*

⟨κδ′⟩

*Ἀφοβίᾳ τὴν ψυχήν...*

⟨κε′⟩

*Ἰδοὺ πάντων αἰσθητῶν...*

⟨κϛ′⟩

*Ὅλως εἴπερ ἐξ ἑνός...*

⟨κζ′⟩ θ⟨εοτοκίον⟩.

*Σοφῶς Παῦλος τὸ ἐν σοί...*

## Τῌ ΠΑΡΑΣΚΕΥῌ.

*Ἀθετή⟨σαντα, Χριστέ⟩.*

⟨κη′⟩

*Φιλανθρώπως ὁ Θεός...*

⟨κθ′⟩

*Ἐν χερσὶ ταῖς τοῦ Πατρός...*

⟨λ′⟩

*Ῥᾳθυμίας λογισμούς...*

⟨λα′, τριαδικόν⟩.

*Ἔτι, εἴπερ ὁ Υἱός...*

⟨λβ′⟩ θ⟨εοτοκίον⟩.

*Ἵνα στήσῃ τῆς φορᾶς...*

---

O
κδ′. Cf. Δ′ κϛ′.
κε′. Cf. Δ′ κζ′.
κϛ′. Cf. Δ′ κη′.
κζ′. Cf. Δ′ κθ′.
κη′. Cf. Δ′ λ′.
κθ′. Cf. Δ′ λα′.
λ′. Cf. Δ′ λβ′.
λα′. Cf. Δ′ λγ′.
λβ′. Cf. Δ′ λδ′.

## ΤΩ͂ ΣΑΒΒΑΤΩ͂.

᾿Αθετή⟨σαντα, Χριστέ⟩.

⟨λγ΄, μαρτυρικόν⟩.

Τῷ πυρὶ τῶν πειρασμῶν
προσομιλοῦντες, ἀθλοφόροι τοῦ Χριστοῦ,
δρόσον τὴν θείαν ἐδέχεσθε,
ἐπαναψύχουσάν τε
καὶ δυναμοῦσαν φέρειν τῆς σαρκὸς
τὰς ὀδύνας, ὅθεν κουφίζετε
πάντα πόνον ἡμῶν ψυχῆς τε καὶ σώματος.

⟨λδ΄⟩

᾿Αποστόλων ὁ χορός,
προφῆται, μάρτυρες, ὁσίων ἀσκητῶν,
γυναίων θείων ὁμήγυρις,
ἐναθλησάντων πίστει
καὶ καθελόντων πλάνην τοῦ ἐχθροῦ,
οὐρανίου δόξης ἐπέτυχον·
ὧν πρεσβείαις, Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

⟨λε΄⟩

Λόγε, ἔνθα σου τὸ φῶς
ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν σου δᾳδουχεῖ,
ὅπου τρυφὴ ἡ ἀΐδιος,
τοὺς ἐξ ἡμῶν ἐν πίστει
μετατεθέντας στῆσον καθαρούς,
παραβλέψας τούτων τὰ πταίσματα,
ὅσα πάντως ἐν γῇ ὡς ἄνθρωποι ἥμαρτον.

⟨λς΄⟩

᾿Αρχὰς πρὸς δύο κατὰ σέ...

⟨λζ΄⟩ θ⟨εοτοκίον⟩.

Σαρκὸς προβλήματι, ἁγνή,...

---

O

λγ΄ 6. πικρὰς ante ὀδύνας delevi m. g.

λς΄. Cf. Δ΄ λη΄.

λζ΄. Cf. Δ΄ λθ΄.

---

λγ΄ 1-3. Πρβλ. Δαν. (Σωσ.) γ΄ 23.

## *ΙΓ'.*

## *ΕΤΕΡΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.*

*Ἦχος δ', ὧν ἡ ἀκροστιχίς·*

*ΧΡΙΣΤῼ ΜΕΛΟΣ ΤΕΤΑΡΤΟΝ ᾼΔΕΙ ΜΑΤΘΑΙΟΣ, ΑΘΛΙΟΣ.*

## *Τῌ ΚΥΡΙΑΚῌ.*

*Ἦχος δ'. Ὁ εἱρμός· Διὰ ξύλου ὁ Ἀδάμ.*

⟨α'⟩

*Χριστὸς ἔδειξεν ὁδὸν σωτηρίας πᾶσι τοῖς ἔθνεσιν,*
*ἐγερθεὶς ἐκ τῶν νεκρῶν, μαθηταῖς αὐτοῦ ἐντειλάμενος*
*βαπτίζειν τοὺς ἅπαντας εἰς Πατρός, Υἱοῦ καὶ Πνεύματος ὄνομα·*
*αἰσχύνθητι, Ἄρειε, Χριστοῦ εἰρηκότος οὐκ εἰς ὀνόματα,*
*ἓν γὰρ ἡ τῶν τριῶν θεότης ἐπώνυμον.*

⟨β'⟩

*Ῥᾷστα δείκνυσι Χριστὸς τῆς θεογνωσίας τὸ τέλειον,*
*ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀριθμήσας τρία τὰ πρόσωπα*
*μιᾶς τῆς θεότητος, οὐ γὰρ ἓν τριώνυμον ὁ Θεὸς πρόσωπον,*
*ὡς ἔφη Σαβέλλιος, τὸ ἐκ διαμέτρου κακὸν πρὸς Ἄρειον·*
*οἳ κατάκρας δ' ὁμοῦ ἴσοι τὴν ἀσέβειαν.*

⟨γ'⟩

*Ἴδε ὅπως ὁ Χριστός, τὰ κεφά...*

⟨δ'⟩

*Σοῦ τυπῶν ὁ Ἰωνᾶς τὴν ταφήν, Χριστέ, καὶ ἀνάστασιν,*
*τῆς θαλάσσης καὶ θηρός, μεθ' ἡμέρας τρεῖς, κρείττων δέδεικται,*

---

O
In tit. Ζήτει ἐν τῷ τέλει ἑτέρους (=μακαρισμοὺς) τῆς Κυριακῆς τοῦ δ' ἤχου in margine.
γ' Cf. Ε' λς'.

---

α' *1.* Πράξ. ιδ' 27, ιϛ' 17. *3.* Ματθ. κη' 19.
β' *2-3.* Ματθ. κη' 19.
δ' *1-2.* Ἰων. β' 1. *4-5.* Α' Πέτρ. ε' 8.

*κρατήσας γὰρ πρότερον τῶν παθῶν καὶ τούτου ὤφθη ἀνώτερος·*
*Σωτήρ, κἀμὲ λύτρωσαι παθῶν ψυχικῶν τὸν σοὶ προσανέχοντα,*
*μήπως τοῦ νοητοῦ θηρὸς τροφὴ γένωμαι.*

⟨ε'⟩

*Τὰ στοιχεῖα, τὸν Θεὸν φανεροῦντα πάσχοντα σείεται,*
*ἐπειδὴ τοὺς λογικοὺς ἀναισθήτως ἔχοντας ἔβλεπεν·*
*ὡσαύτως ἐδήλωσε καὶ τὴν τῶν πραγμάτων σαφῶς μετάθεσιν·*
*ἐμὲ δὲ οὐκ ἔπεισε σταυρός, οὐκ ἀνάστασις, οἷς σεσώσμεθα,*
*ὅλως μεταπεσεῖν πρὸς κρεῖττω κατάστασιν.*

|| ⟨ς'⟩ || *f. 47v*

*Ὥρα πάλιν σε σκοπεῖν...*

⟨ζ'⟩ *θ⟨εοτοκίον⟩.*

*Μὴ πεισθέντα τὸν Ἀδάμ...*

*Τῌ ΔΕΥΤΕΡᾼ.*

*Διὰ ξύλου ⟨ὁ Ἀδάμ⟩.*

⟨η'⟩

*Ἑνωθέντες τῷ Χριστῷ...*

⟨θ'⟩

*Λειτουργοῦσι τῷ Θεῷ προσεχῶς οἱ Θρόνοι λεγόμενοι,*
*Χερουβὶμ καὶ Σεραφὶμ πολυόμματοι καὶ πολύπτεροι·*
*τριττὴ διακόσμησις, δηλοῖ τὸ μὲν ἐμπρηστὰς ἢ θερμαίνοντας,*
*τὸ δὲ πλῆθος γνώσεως, ἢ χύσιν σοφίας πάλιν τὸ ἕτερον,*
*ὧνπερ τίς ἱκανὸς ἰδεῖν τὴν λαμπρότητα;*

⟨ι'⟩

*Ὁ διὰ πράξεως ἁγνόν...*

⟨ια'⟩

*Σωφρονούντων λογισμῶν...*

---

O
ς'. Cf. Ε' ς'.
ζ'. Cf. Ε' ζ'.
η'. Cf. Ε' η'.
ι'. Cf. Ε' ι'.
ια'. Cf. Ε' ια'.

---

*ε' 1-2.* Ματθ. κζ' 51. Μάρκ. ιε' 38. Λουκ. κγ' 45.
*θ' 1.* Δαν. ζ' 10.

*⟨ιβ'⟩ θ⟨εοτοκίον⟩.*

*Τὸν ἰὸν τῆς ἑαυτοῦ...*

## *Τῌ ΤΡΙΤῌ.*

*Διὰ ξύ⟨λου ὁ ᾿Αδάμ⟩.*

*⟨ιγ'⟩*

*῾Εαυτοῦ φθείρας ὁ νοῦς τὰς δυνάμεις, ὧν ὑποκείμενον,*
*προαιρέσει πονηρᾷ τὰ ἐν ὑποκειμένῳ ἔδειξεν*
*ἑαυτῷ συμπάσχοντα, θεωρίαν λέγω καὶ πρᾶξιν, αἵτινες*
*πρὸς τὸν νοῦν ἐπέχουσι λόγον συμβεβηκότων, διὸ τοῦ πρέποντος*
*τρέπονται πρὸς τὴν αὐτοῦ ἐσφαλμένην κίνησιν.*

*⟨ιδ'⟩*

*Τῆς στειρώσεως δεσμὰ πάλαι, θεῖε Πρόδρομε, λέλυκας·*
*οὕτω δὴ καὶ τῆς ἐμῆς νῦν καρδίας λῦσον τὴν στείρωσιν,*
*τῷ φόβῳ τῆς κρίσεως, ἀγαθάς τε φέρειν πράξεις ἐνίσχυσον·*
*ὁ μὲν γὰρ τῆς πίστεως καρπός, αἱ δὲ πάλιν τούτου γεννήματα,*
*σπείρεται δ' ἐν ψυχῇ φευγούσῃ τὰ γήινα.*

*⟨ιε'⟩*

*᾿Αγωνισώμεθα στερρῶς...*

*⟨ις'⟩*

*῾Ρᾷστα οὕτω κατιδεῖν...*

*⟨ιζ'⟩*

*Τῇ ἐμῇ φθορᾷ τρυφῶν...*

## *Τῌ ΤΕΤΑΡΤῌ.*

*Διὰ ξύλου ⟨ὁ ᾿Αδάμ⟩.*

*⟨ιη'⟩*

*Οἱ σταυρώσαντες Χριστόν...*

---

O
ιβ'. Cf. E' ιβ'.
ιγ' 2. πονηρᾷ scripsi: πονηρὰ O.
ιε'. Cf. E' ιε'.
ις'. Cf. E' ις'.
ιζ'. Cf. E' ιζ'.
ιη'. Cf. E' ιη'.

---

ιδ' 1. Λουκ. α' 36.

⟨ιθ'⟩

*Νεκρωθεὶς ἐπὶ σταυροῦ...*

⟨κ'⟩

*᾽Αθληταὶ ὑπὲρ Χριστοῦ...*

⟨κα'⟩

*Δι᾽ Υἱοῦ πέμπει, φασίν,...*

⟨κβ'⟩ θ⟨εοτοκίον⟩.

*᾽Εν οὐσίᾳ ὁ Θεός...*

## *ΤΗ͂Ι ΠΕΜΠΤΗ͂Ι.*

*Διὰ ξύλου* ⟨ὁ ᾽Αδάμ⟩.

⟨κγ'⟩

*᾽Ιωάννην καὶ Λουκᾶν καὶ Ματθαῖον, Μᾶρκον ὑμνήσωμεν,*
*τοὺς τὰ τέσσαρα ἡμᾶς ἐκπαιδεύσαντας εὐαγγέλια,*
*᾽Ανδρέαν, ᾽Ιάκωβον, Πέτρον, Παῦλον, τοὺς προβόλους τῆς πίστεως,*
*Θαδδαῖον καὶ Φίλιππον καὶ Βαρθολομαῖον, Θωμᾶν τὸν δίδυμον,*
*Σίμωνα ζηλωτήν, ᾽Αλφαίου ᾽Ιάκωβον.*

⟨κδ'⟩

*Μαθηταὶ Χριστοῦ ὑμεῖς...*

⟨κε'⟩

*᾽Απατήσας ὁ ἐχθρός...*

⟨κϛ'⟩

*Τὸ φρονεῖν εἶναι ταὐτόν...*

⟨κζ'⟩ θ⟨εοτοκίον⟩.

*Θεοτόκε, τὸ φανέν...*

---

O
ιθ'. Cf. E' ιθ'.
κ'. Cf. E' κ'.
κα'. Cf. E' κα'.
κβ'. Cf. E' κβ'.
κδ'. Cf. E' κδ'.
κε'. Cf. E' κε'.
κϛ'. Cf. E' κϛ'.
κζ'. Cf. E' κζ'.

## *ΤΗ ΠΑΡΑΣΚΕΥΗ.*

*Διὰ ξύ⟨λου ὁ ᾿Αδάμ⟩.*

*⟨κη′⟩*

*᾿Αποστήσας ὁ ἐχθρός...*

*⟨κθ′⟩*

*᾿Ιδοὺ κατάκριτος ἡ πρίν...*

*⟨λ′⟩*

*Οἳ καλεῖσθαι τοῦ Χριστοῦ...*

*⟨λα′⟩*

*Σύνες, ὅ σοι λέγω νῦν...*

*⟨λβ′⟩*

*᾿Αποδείξει ὁ θαρρῶν...*

## *ΤΩ ΣΑΒΒΑΤΩ.*

*Διὰ ξύ⟨λου ὁ ᾿Αδάμ⟩.*

*⟨λγ′⟩*

*Θανεῖν μάλιστα ἑλοῦ, ἀρετὴν θερμῶς μετερχόμενος,*
*ἢ βιῶναι ἀμελῶς, οὐ γὰρ μόνον οἱ ὑπὲρ πίστεως*
*Χριστοῦ ἀποθνήσκοντες τοὺς στεφάνους φέρονται τῆς ἀθλήσεως,*
*ἀλλ' ὅσοις καὶ θάνατος ζωῆς ἐν τῇ πρώτῃ μοίρᾳ λογίζεται,*
*ἕνεκα τῶν αὐτοῦ ἐντολῶν ἑκάστοτε.*

*⟨λδ′⟩*

*Λῆμμα θείων προφητῶν, ἱεράρχαι, ὅσιοι, δίκαιοι,*
*καὶ γυναῖκες εὐκλεεῖς, γεγονότες κάτοχοι, ἔρωτι*
*τῷ || θείῳ, ἀπώσαντο ὑλικὴν προσπάθειαν καὶ ἠγάπησαν* || *f. 48r*
*εἰρήνην καὶ ἔλεος, ζωῆς τῆς μελλούσης ἔνθεν ἀρξάμενοι,*
*ὧν πρεσβείαις, Χριστέ, καὶ ἡμᾶς οἰκτείρησον.*

---

*O*

*κη′*. Cf. E′ κη′.
*κθ′*. Cf. E′ κθ′.
*λ′*. Cf. E′ λ′.
*λα′*. Cf. E′ λα′′.
*λβ′*. Cf. E′ λγ′ || θαρρῶν: θαρρὼν O.

---

*λγ′ 3-5*. Πρβλ. Ψαλμ. 43 (44), 22.

⟨λε'⟩

*Ἱλασμὸς γενοῦ, Σωτήρ, τοῖς εἰς τὸ χρεὼν ἀπαλλάξασι*
*καὶ πατράσι τοῖς ἡμῶν, τοῖς καὶ πίστει καὶ βίῳ λάμψασι*
*καλῶς συναρίθμησον, παρ' οὐδὲν ὁπόσα ἥμαρτον θέμενος*
*ἐν βίῳ ὡς ἄνθρωποι, τρεπτῆς γὰρ ὑπάρχομεν ὄντες φύσεως·*
*μόνος γὰρ αὐτὸς εἶ τῆς τροπῆς ἀνώτερος.*

⟨λς'⟩

*Ὅταν διὰ τοῦ Υἱοῦ διακούσῃς...*

⟨λζ'⟩ θ⟨εοτοκίον⟩.

*Σύ, ἁγνή, οὐσιωδῶς...*

* * * *(f. 52v)*

*Ἕτεροι Μακαρισμοὶ τῆς Κυριακῆς τοῦ δ' Ἤχου, ⟨ὧν ἡ ἀκροστιχίς· ΧΡΙΣΤῼ Μ.⟩*

*Πρός· Διὰ ξύλου ὁ Ἀδάμ.*

⟨$\alpha^1$⟩

*Χριστὸν ποθήσωμεν πιστοί, τὰς σαρκὸς ὀρέξεις μισήσαντες·*
*αἰδεσθῶμεν τῶν αὐτοῦ παθημάτων τὴν συγκατάβασιν·*
*ὀψὲ γοῦν γενώμεθα ἐν ἡμῶν αὐτῶν ⟨τὰ⟩ αἴσια πράττοντες,*
*ὡς ἂν κοινωνήσωμεν αὐτῷ τῆς φαιδρότητος ἐν τῷ μέλλοντι,*
*γεγονότες υἱοὶ ἔνθεν ἀναστάσεως.*

⟨$\beta^1$⟩

*Ῥῶσιν θείαν καὶ ζωὴν ἡ Χριστοῦ παρέσχεν ἀνάστασις*
*τοῖς πρεσβεύουσιν αὐτὴν καὶ τοῦ νοῦ τηρήσει κατέχουσιν*
*αὐτῆς τὴν φαιδρότητα καὶ παθῶν ἀχλὺν ἐν Χριστῷ σκεδάζουσι,*
*σκεδάζειν σπουδάζουσαν κακῶς ἀφ' ἡμῶν τὴν θείαν ἐνέργειαν*
*ταῦτα τὸ τῆς ψυχῆς ταμεῖον ἐπίσταται.*

---

O
λς'. Cf. E' λζ'.
λζ'. Cf. E' λη'.

In tit. ὧν ἡ ἀκροστιχὶς κλπ. addidi.
$\alpha^1$ *3*. τὰ post αὐτῶν addidi.

---

λε' *5*. Ἰακ. α' 17.
$\alpha^1$, *5*. Λουκ. κ' 36.
$\beta^1$, *1*. Α' Πέτρ. α' 3.

⟨γ$^1$⟩

*Ἱερεῖα, σὺν Χριστῷ σταυρωθέντες, ζῶντα γενώμεθα,*
*καὶ ταφέντες σὺν αὐτῷ, τὰ χρηστὰ ἐλπίσωμεν λήψεσθαι,*
*ζωὴν καὶ ἀνάστασιν, ἀντιστρόφως δόξαν τε τὴν ἀίδιον·*
*οἱ ἧλοι οἱ ἥδιστοι, τῆς σαρκὸς ἀγχέτωσαν τὰ σκιρτήματα,*
*δι᾿ ἄλγους ἡδονὴν τοῖς πᾶσι μνηστεύοντες.*

⟨δ$^1$⟩

*Σταυρωθῶμεν τῇ σαρκὶ τῶν Χριστοῦ παθῶν κοινωνήσαντες·*
*χαίρειν φράσωμεν ζωῇ τῇ προσκαίρῳ, σταυρὸν ἀράμενοι,*
*ἐχθροὺς θανατώσαντα ἀοράτους καὶ ἡμᾶς λυτρωσάμενον·*
*μηδὲν προτιμήσωμεν αὐτοῦ τῶν σαινόντων ἡμῶν τὴν αἴσθησιν,*
*ἅτινα ἡ πικρὰ κόλασις ἐκδέχεται.*

⟨ε$^1$⟩

*Τὰς αἰσθήσεις τῷ φωτὶ τῶν Χριστοῦ παθῶν ἁγιάσωμεν·*
*ἀναστήσωμεν τὸν νοῦν τῆς αὐτοῦ τῷ πόθῳ ἐγέρσεως·*
*ἐντεῦθεν γὰρ ἕξομεν ἀρραβῶνα τῆς ἐκεῖθεν λαμπρότητος·*
*μηδὲν ὑστερήσωμεν τῶν || ἠμελημένως βιούντων πρότερον,* || *f. 53r*
*μήπως μάτην ἐκεῖ ἔλεον ζητήσωμεν.*

⟨ϛ$^1$, *τριαδικόν*⟩.

*Ὥρα πάλιν σε σκοπεῖν...*

⟨ζ$^1$⟩, *θ⟨εοτοκίον⟩.*

*Μὴ πεισθέντα τὸν Ἀδάμ...*

---

*O*
ϛ$^1$ *1.* Cf. Ε′ ϛ′.
ζ$^1$. Cf. Ε′ ζ′.

---

γ$^1$, *1-2.* Ρωμ. ϛ′ 4.
δ$^1$, *1-2.* Γαλ. ϛ′ 14. Πρβλ. Ματθ. ιϛ′ 24.
ε$^1$ *3.* Α′ Κορ. α′ 22. Πρβλ. Ἐφεσ. α′ 14.

## ΙΔ'.

## ΕΤΕΡΟΙ ΜΑΚΑΡΙΣΜΟΙ. (f. 48r)

*Ἦχος πλ. α', ὧν ἡ ἀκροστιχίς·*

*ΠΕΜΠΤΟΝ ΦΕΡΕΙ ΣΟΙ, ΧΡΙΣΤΕ, ΜΑΤΘΑΙΟΣ ΜΕΛΟΣ, ΣΟΣ.*

### ΤῊ ΚΥΡΙΑΚῊ.

*Ἦχος πλ. α'. Ὁ εἱρμός· Ὁ λῃστὴς ἐν τῷ σταυρῷ.*

⟨α'⟩

Πῶς ὑμνήσω σου, Χριστέ...

⟨β'⟩

Ἐνεργεῖς ὡς δυνατός...

⟨γ'⟩

Μεγαλύνω σου, Σωτήρ,
τὸ ὑπέρσοφον, ποικίλως καὶ γὰρ
ἀναπλάττεις πάντας, τῆς ἁμαρτίας τὸ κράτος
πάθεσι λύσας πάλαι, δι' ἣν
ἡμεῖς ἀπολώλαμεν.

⟨δ'⟩

Πρῶτον σοὶ μὲν τὸν σταυρὸν
ἐπιτιθοῦσιν Ἰουδαῖοι, Χριστέ,
ὡς ἀρᾶς ξύλον αὐτοὶ φυλαττόμενοι ἆραι,
εἶτα κατ' ἐπήρειαν, αὐτὸν
ὁ Σίμων ἐβάστασεν.

---

O
α'. Cf. ς' α'.
β'. Cf. ς' β'.

---

γ' 3-5. Α' Κορ. ιε' 3. Α' Πέτρ. δ' 1. Α' Ἰωάν. α' 1.
δ' 1-5. Δευτερ. κα' 23. Γαλ. γ' 13. Ἰωάν. ιθ' 17. Μάρκ. ιε' 21.

⟨ε'⟩

*Τὸν σταυρόν, ὡς ὁ Χριστὸς*
*αἴρειν πρῶτον...*

⟨ς'⟩

*Ὅτι διὰ τοῦ Υἱοῦ...*

⟨ζ'⟩ θ⟨εοτοκίον⟩.

*Νὺξ ἐλεύσεται φησίν...*

*Τῌ ΔΕΥΤΕΡᾼ.*

*Ὁ λῃστὴς ⟨ἐν τῷ σταυρῷ⟩.*

⟨η'⟩

*Φέρων πλῆθος οἰκτιρμῶν,*
*τὰ σὰ μὴ κλείσῃς ἐμοὶ σπλάγχνα, Σωτήρ,*
*εἰ καὶ ἥμαρτον ὑπὲρ πάντας, ἀλλὰ τὴν πίστιν*
*δέξαι μόνην καὶ ἀντὶ καλῶν*
*πράξεων καὶ σῶσόν με.*

⟨θ'⟩

*Ἐν δευτέρῳ τῷ βαθμῷ*
*Κυριότητες, Δυνάμεις εἰσίν,*
*Ἐξουσίαι, πάλιν, τριττὴν καὶ αὗται πληροῦσαι*
*ταξιαρχίαν τῇ τριαδικῇ*
*καὶ μιᾷ θεότητι.*

⟨ι'⟩

*Ῥωμαλέως, ἀθληταί...*

⟨ια', τριαδικόν⟩.

*Ἔθος ἔστι τῇ Γραφῇ,*
*τῆς Τριάδος...*

⟨ιβ'⟩ θ⟨εοτοκίον⟩.

*Ἵν' ἀνέλῃ ἡδονήν...*

---

O
ε'. Cf. S' κ'.
ς'. Cf. S' ς'.
ζ'. Cf. S' ζ'.
ι'. Cf. S' ι'.
ια'. Cf. S' ια'.
ιβ'. Cf. S' ιβ'.

## *Τῌ ΤΡΙΤῌ.*

*Ὁ λῃστὴς ⟨ἐν τῷ σταυρῷ⟩.*

*⟨ιγ'⟩*

*Σχολασάτω σου ὁ νοῦς*
*ἐκ τοῦ κόσμου, ἵν' ἐγγίσῃς Θεῷ·*
*τὰς αἰσθήσεις καὶ γὰρ ἐφ' ὅσον κόσμος κατέχει,*
*πάθεσιν ἁπλῶς καὶ οὐ Θεῷ*
*ὁ νοῦς, φεῦ, ὑπόκειται.*

*⟨ιδ'⟩*

*Ὁ ἐκ μήτρας ἐπιγνοὺς*
*τὸν δεσπότην, δὸς κἀμέ, Βαπτιστά,*
*ἐν κοιλίᾳ ὥσπερ τῷ σκότει ὄντα τοῦ βίου,*
*γεννηθῆναι χάριτι νῦν*
*εἰς φῶς τὸ ἀίδιον.*

*⟨ιε'⟩*

*Ἰλιγγιᾷ ἡμῶν ὁ νοῦς...*

*⟨ις', τριαδικόν⟩.*

*Χάριν τίνος ὁ Χριστός...*

*⟨ιζ'⟩ θ⟨εοτοκίον⟩.*

*Ῥῆξον, κόρη, τὰς σειράς...*

## *Τῌ ΤΕΤΑΡΤῌ.*

*Ὁ λῃστὴς ⟨ἐν τῷ σταυρῷ⟩.*

*⟨ιη'⟩*

*Ἰατρεύων τοῦ Ἀδάμ...*

---

*O*

ιγ' 3. ὁ ante κόσμος delevi m. g.
ιδ' 3. τῷ σκότει ὄντα transposui m. g.: ὄντα τῷ σκότει O.
ιε'. Cf. ϛ' α'.
ις'. Cf. ϛ' ις'.
ιζ'. Cf. ϛ' ιζ'.
ιη'. Cf. ϛ' ιη'.

---

ιγ' 1. Ψαλμ. 45 (46), 10. 2. Ἰακ. δ' 8.
ιδ' 1-3. Λουκ. α' 44.

⟨ιθ′⟩

*Σταυρωθεὶς καὶ ἀναστάς,*
*νέαν ἔδειξας ζωήν, ἀγαθέ,*
*ἐξ ὀδύνης μὲν τυχὸν ἀρχομένην καὶ πόνων,*
*τελευτῶσαν δὲ εἰς ἡδονὴν*
*θείαν καὶ ἀίδιον.*

⟨κ′, μαρτυρικόν⟩.

*Τῆς ζωῆς τῆς ἀληθοῦς*
*μετασχεῖν ποθήσαντες, ἀθληταί,*
*τὴν θανάτῳ ταύτην ὑποκειμένην προδόντες*
*ἀνδρίᾳ ψυχῆς, ἐπιτυχεῖς*
*ἐκείνης γεγένησθε.*

⟨κα′⟩

*Εἰ ὡς ἄνθρωπος εἰπεῖν...*

⟨κβ′⟩ θ⟨εοτοκίον⟩.

*Μακαρίων διὰ σοῦ...*

|| ΤΗ͂Ι ΠΕΜΠΤΗ͂Ι. || f. 48r

Ὁ ληστὴς ἐν ⟨τῷ σταυρῷ⟩.

⟨κγ′⟩

*Ἀποστόλων ταῖς εὐχαῖς*
*νοητῆς αἰχμαλωσίας ἡμᾶς*
*ῥῦσαι, Σῶτερ, κλήσεως τῆς ἡμῶν ἀναξίως*
*πᾶσιν ὑποκύπτοντας αἰσχρῶς*
*τοὺς ἀθλίους πάθεσιν.*

⟨κδ′⟩

*Τὰς τοῦ σώματος, ψυχή,*
*ἡδονὰς νεκρῶσαι σπεῦσον, εὐχαῖς*
*τῶν κηρύκων, ἵν᾽ ἐκ παθῶν σαυτὴν ἀναστήσεις·*
*ἡ γὰρ τούτων νέκρωσις γεννᾷ*
*τὴν ἔνθεον ἔγερσιν.*

---

O
κα′. Cf. ϛ′ κα′.
κβ′. Cf. ϛ′ κβ′.

---

κγ′ 2. Πρβλ. Ρωμ. ε′ 23.
κδ′ 1-2. Κολ. γ′ 5.

⟨κε', μαρτυρικόν⟩.

*Θανατώσαντες τὸ ζῆν,*
*τῷ θανάτῳ μακαρίαν ζωὴν*
*ἐκομίσασθε, ἀθληταί, τοῦ ὄντως θανάτου*
*θάνατον, φθορᾶς τε ἀληθοῦς*
*φθορὰν οὖσαν μάλιστα.*

⟨κς', τριαδικόν⟩.

*Ἀποστέλλει τῷ Υἱῷ*
*τοῦ ἀνθρώπου κατὰ σὲ ὁ Υἱὸς*
*τοῦ Θεοῦ τὸ Πνεῦμα τῷ τότε βαπτιζομένῳ,*
*τὸ ἐκπορευόμενον αὐτοῦ,*
*ὡς φρονεῖ Νεστόριος.*

⟨κζ'⟩ θ⟨εοτοκίον⟩.

*Ἱλασμός, ἁγνή, γενοῦ*
*τῷ ἀθλίῳ καὶ φρουρὸς τῆς ζωῆς,*
*ἐναγῶν παθῶν τε ἀπαλλαγὴν δός μοι, κόρη,*
*ἣν ὁ μήπω χάριτι εὑρών,*
*οὔπω λύσιν εὕρηκεν.*

## Τῌ ΠΑΡΑΣΚΕΥῌ.

Ὁ λῃστὴς ⟨ἐν τῷ σταυρῷ⟩.

⟨κη'⟩

*Ὁ σταυρὸς πνευματικῶς*
*θεωρεῖται τοῖς σοφοῖς τετραχῶς*
*κατὰ σχῆμα, λέγω, κατά τε σύνθεσιν ἔτι,*
*ἰδιότητα τῶν μερῶν,*
*πρὸς δὲ κατ' ἐνέργειαν.*

⟨κθ'⟩

*Σχῆμα μὲν τὸ τοῦ σταυροῦ*
*τὴν συνέχουσαν τὰ πάντα δηλοῖ*
*ἀοράτως, τά τε ἐπάνω μέρη καὶ κάτω,*
*καὶ τὰ ἐφ' ἑκάτερα σαφῶς*
*αὐτοῦ θείαν δύναμιν.*

---

κς' 1-3. Πρβλ. Ματθ. γ' 16.

⟨λ'⟩

*Μηδαμῶς δῶρον Θεοῦ*
*προηγούμενον ζωὴν τὴν φθαρτὴν*
*μυηθέντες μάρτυρες εἶναι τοῦ ἀθανάτου*
*ἑκοντὶ προδόντες νῦν αὐτήν,*
*τὴν ὄντως ἐκτήσασθε.*

⟨*λα', τριαδικόν*⟩.

*Εἷς Υἱοὺς δύο σαφῶς*
*διαιρεῖς κακῶς τὸν ἕνα Χριστόν,*
*ὁ τὸ Πνεῦμα λέγων καὶ ἐξ Υἱοῦ· κατὰ σὲ γάρ,*
*τούτῳ βαπτισθέντι ἐπελθόν,*
*φρονεῖν οὕτω δίδωσιν.*

⟨*λβ'*⟩ *θ*⟨*εοτοκίον*⟩.

*Λαβὼν σάρκα ὁ Θεὸς*
*ἐκ σοῦ, κόρη, καὶ παθὼν δι' ἡμᾶς,*
*τὴν καλὴν παρέσχεν ἀντιστροφήν, εἶναι πάντας*
*χάριτι θεούς, ὥσπερ αὐτὸς*
*δι' ἔλεον ἄνθρωπος.*

## *ΤΩ ΣΑΒΒΑΤΩ.*

*Ὁ λῃστὴς ἐν* ⟨*τῷ σταυρῷ*⟩.

⟨*λγ'*⟩

*Ὄγκῳ γνώμης, ἀθληταί,*
*τὸ ποτήριον πιεῖν τοῦ Χριστοῦ*
*βουληθέντες, χαίρειν ἔφητε πρῶτον τῷ βίῳ,*
*εἶτα τὸ θανεῖν ὑπὲρ Χριστοῦ*
*προθύμως ἠνέγκατε.*

⟨*λδ'*⟩

*Σοφόν τι χρῆμα ἡ ψυχὴ*
*ὑμῶν γέγονε, προφῆται Χριστοῦ,*
*καθαρθεῖσα ῥύπου παντοίου καὶ ποιωθεῖσα*
*θεωρίαις θείαις ἀκραιφνῶς*
*τοῦ ἁγίου Πνεύματος.*

---

*λα' 3-4*. Πρβλ. Ματθ. γ' 16.

⟨λε'⟩

*Σῶσον πάντας, ὁ Θεός,*
*τοὺς ἀπάραντας τοῦ βίου πιστοὺς*
*καὶ μὴ πέμψῃς τούτους παρὰ τοὺς πλείους,*
*τῶν γὰρ σῳζομένων ἡ μερὶς*
*τὸ ἔλαττον φέρεται.*

⟨λϛ'⟩

*Ὁ βαπτίζων θεωρεῖ*
*τὸ δόγμα τότε τῆς Τριάδος τρανῶς·*
*ἐν Υἱῷ γὰρ μένει τὸ ἐκ Πατρὸς θεῖον Πνεῦμα,*
*δεῖξις γὰρ τοῦ ἀεὶ ὄντος ἦν*
*τὸ τότε μυστήριον.*

⟨λζ'⟩ θ⟨εοτοκίον⟩.

*Σωτηρίας τῆς ἡμῶν,*
*ἁγνή, γέγονας αἰτία σαφῶς,*
*τῷ οὖν τόκῳ σου οἱ πιστεύσαντες ἐκ καρδίας,*
*ἔτι ὄντες ἐν σαρκί, φωτὸς*
*θείαν αἴγλην δέχονται.*

---

O
λε' 3. Κύριε post τούτους fortasse addendum m. g

---

λϛ' 3. Πρβλ. Ματθ. γ' 16.

## *ΙΕ'.*

## || *ΕΤΕΡΟΙ ΜΑΚΑΡΙΣΜΟΙ.* || *f. 49r*

*Ἦχος πλ. β', ὧν ἡ ἀκροστιχίς·*

*ΕΚΤΟΝ ΦΕΡΕΙ ΣΟΙ, ΧΡΙΣΤΕ, ΜΑΤΘΑΙΟΣ ΜΕΛΟΣ, ΤΑΛΑΣ.*

### *Τῌ ΚΥΡΙΑΚῌ.*

*Ἦχος πλ. β'. Ὁ εἱρμός· Μνήσθητί μου, ὁ Θεός.*

*⟨α'⟩*

3 *Ἐδηλοῦτο, χαρακτῆρσι τῶν γραμμάτων*
*τῶν ἐν τίτλῳ, ἐθνῶν ὡς τὰ κράτιστα*
*τὴν σήν, Σωτήρ μου, δοξάζουσιν ἔγερσιν.*

*⟨β'⟩*

1 *Κράτους σύμβολον Ρωμαῖοι, εὐσεβείας*
*οἱ Ἑβραῖοι, σοφίας δὲ Ἕλληνες,*
*οἳ διαρρήδην Θεόν σε ἐκήρυξαν.*

*⟨γ'⟩*

1 *Τῶν τριῶν φιλοσοφίας μερῶν, Σῶτερ,*
*ἡγεμόνα ἐδείκνυτο ἔσεσθαι*
*διὰ τοῦ τίτλου ἡμῖν ἀναστάντα σε.*

*⟨δ'⟩*

1 *Ὁ Ῥωμαῖος, ὡς ἀνδρεῖος, δηλοῖ πρᾶξιν,*
*Ἕλληνες δὲ τὴν φύσιν ἐσκόπησαν,*
*οἱ Ἰουδαῖοι θεολογίας ἥψαντο.*

*⟨ε'⟩*

1 *Νοῦς ὑμνεῖ σε, Λόγε, ἅπας, τὸν τὴν πρᾶξιν*
*καὶ τὴν γνῶσιν ἡμῖν ὁμαλίσαντα,*
*θεολογίαν πρὸς δὲ τῇ ἐγέρσει σου.*

---

α' 1-2. Ἰωάν. ε' 20.

⟨ϛ', τριαδικόν⟩.

1 *Φρόνει μόνην πηγὴν*[1] *οὖσαν τὸν Πατέρα,*
*ὑπὲρ φύσιν Υἱοῦ τε καὶ Πνεύματος,*
*καθ' ἃ ὁ μέγας ἔφη Διονύσιος.*

⟨ζ'⟩ θ⟨εοτοκίον⟩.

1 *'Εκ Πατρὸς τόν τε Υἱόν σου...*

## *Τῌ ΔΕΥΤΕΡᾼ.*

*Μνήσθητί* ⟨*μου*⟩.

⟨η'⟩

1 *'Ρήματί σου τῶν παθῶν τὸ σκότος, Σῶτερ,*
*σκεδασθήτω ἀπὸ τῆς καρδίας μου,*
*καὶ νέφος θεῖον περικυκλωσάτω με.*

⟨θ'⟩

1 *'Εν τῇ τάξει δὲ ἡ τρίτη τῶν 'Αγγέλων,*
*'Αρχαγγέλων, 'Αρχῶν διακόσμησις*
*διὰ τῶν ἄνω τὴν ἔλλαμψιν δέχεται.*

⟨ι'⟩

1 *"Ισους λήψεται τοῖς μάρτυσι στεφάνους*
*ὁ μηδόλως ὑπείκων τοῖς πάθεσιν,*
*ἃ τὴν καρδίαν ἐκπορθεῖν ἐπείγεται.*

⟨ια', τριαδικόν⟩.

1 *Σαφῶς οὔ τις τῶν Πατέρων ὡς τὸ Πνεῦμα*
*ἐκ τοῦ Λόγου ἔφη ἐκπορεύεται,*
*ἀλλ' εἰς τὴν πέμψιν καὶ τὴν δόσιν ἔμειναν.*

⟨ιβ'⟩ θ⟨εοτοκίον⟩.

1 *'Ολεθρίων παθημάτων λύτρωσαί με,*
*Θεοτόκε, καὶ δός μοι μετάνοιαν,*
*τὴν δαπανῶσαν αὐτῶν τὴν ἐνέργειαν.*

---

*O*
ζ'. Cf. Z' ιβ'.
*θ' 3.* ἄνω: μέσων O s.l.

---

*η' 1-3.* Πρβλ. 'Ησ. νη' 10.

---

1. Βλ. *Περὶ θείων ὀνομάτων* II, 5 (Migne PG, 3, 641D).

## Τῌ ΤΡΙΤῌ.

Μνήσθη⟨τί μου⟩.

⟨ιγ'⟩

1 Ἰλυσπώμενος, ὡς χοῖρος, τῷ βορβόρῳ...

⟨ιδ'⟩

1 Χάριν, ἣν ἐκ μήτρας ἔσχες, διὰ τέλους
πολλοῖς πόνοις ἐτήρησας, Πρόδρομε·
καὶ γὰρ ἐν τούτοις Θεὸς θεραπεύεται.

⟨ιε' μαρτυρικόν⟩.

1 Ρωμαλέως ἐνεγκόντες τὰς βασάνους,
ἀθλοφόροι, δόξης ἠξιώθητε,
εἰς ἣν ἐγκύψαι ἄγγελοι ἐφίενται.

⟨ις', τριαδικόν⟩.

1 Ἰδιότης τῶν προσώπων τῆς Τριάδος
οὐ κοινοῦται, Πατρὸς οὖν τὸ ἴδιον
Υἱῷ μὴ δίδου, τὴν προβολὴν τοῦ Πνεύματος.

⟨ιζ'⟩ θ⟨εοτοκίον⟩.

1 Συντριβὴν καρδίας, κόρη, δώρησαί μοι,
ἵνα κλαύσω τὴν πρῴην ἀμέλειαν,
τὴν κατασπῶσαν εἰς Ἅδου τὸ βάραθρον.

## Τῌ ΤΕΤΑΡΤῌ.

Μνήσθη⟨τί μου⟩.

⟨ιη'⟩

1 Τῆς τὰ πάντα διεπούσης καὶ οὐσίας
καὶ προνοίας ἐμφαίνει καὶ κρίσεως
θείας ἐκφάνσεις, τοῦ σταυροῦ ἡ σύνθεσις.

⟨ιθ'⟩

1 Ἐμφανίζει τῷ ὀρθίῳ τὴν σοφίαν,
τῷ πλαγίῳ κακίας ἀναίρεσιν
ἀρχὴν δὲ ἥλοις τὴν πάντα συνέχουσαν.

---

O

ιγ'. Cf. Ζ' ιγ' || ἰλισπώμενος O.

---

ιε' 3. Α' Πέτρ. α' 12.

*⟨κ', μαρτυρικόν⟩.*

1 *Μετὰ πόνων, ἀθλοφόροι, ἀνυποίστων*
*καθελόντες Βελίαρ τὴν δύναμιν,*
*σάρκα καὶ κόσμον, ἀγγέλων προκέκρισθε.*

|| *⟨κα', τριαδικόν⟩.* '| *f. 49v*

1 *᾿Αληθὲς εἰ ἦν τὸ Πνεῦμα καὶ τοῦ Λόγου,*
*ὡς ὑμεῖς γε φατέ, ἐκπορεύεσθαι,*
*οὐκ ἂν διδάξαι οἱ Πατέρες ὤκνησαν.*

*⟨κβ'⟩ θ⟨εοτοκίον⟩.*

1 *Τὴν αἰσχύνην σαυτῆς ὅρα, ψυχή, τότε,*
*ὅταν ἔλθῃ ὁ Χριστὸς τοῦ κρῖναί σε*
*καὶ κράζε μόνον· Θεοῦ μήτηρ, σῶσόν με.*

*ΤΗ ΠΕΜΠΤΗ.*

*Μνήσθητί ⟨μου⟩.*

*⟨κγ'⟩*

1 *Θύρα πάντων χαρισμάτων ἡ ἀγάπη,*
*ἣν πρὸ πάντων τιμῶντες, ἀπόστολοι,*
*πρὸς θεωρίας ἐνθέους ὑψώθητε.*

*⟨κδ'⟩*

1 *᾿Αγαπήσαντες καρδίᾳ διαπύρῳ*
*τὸν Σωτῆρα, οὕτως οἱ ἀπόστολοι*
*τοῦ νοῦ τὰς ἕξεις τελέως ἐκάθηραν.*

*⟨κε', μαρτυρικόν⟩.*

1 *῞Ιν᾿ αἰσχύνῃ τοὺς ἀγγέλους πεπτωκότας*
*ἄνευ ὕλης, Χριστὸς ἄγει Μάρτυρας,*
*μετὰ τῆς ὕλης κακίαν νικήσαντας.*

*⟨κϛ', τριαδικόν⟩.*

1 *῾Ο Υἱός, εἴπερ καὶ τούτῳ τὸ προβάλλειν*
*ἦν τὸ Πνεῦμα, οὐκ ἂν ἐσιώπησεν·*
*ἀλλὰ τὸ ὅλον τῷ Πατρὶ ἀνέθηκεν.*

---

*κ' 2.* Β' Κορ. ϛ' 15. *3.* Α' ᾿Ιωάν. β' 16.
*κγ' 1-2.* Πρβλ. Ρωμ. η' 35. Α' Κορ. ιγ' 13.

⟨κζ'⟩ θ⟨εοτοκίον⟩.

1 Σῶμα λύσσης, ὃ προΐσχομαι, τὸ γέμον
ἐμποδίζον πρὸς κρείττω κατάστασιν,
Παρθένε, τούτου τὸν οἶστρον κατεύνασον.

## Τῌ ΠΑΡΑΣΚΕΥῌ.

Μνήσθητί ⟨μου⟩.

⟨κη'⟩

1 Μερῶν σταυροῦ ἡ ἰδιότης ὑποφαίνει
τῷ ὀρθίῳ τὴν μόνιμον ἵδρυσιν,
σαρκὶ παθούσης ἐν αὐτῷ θεότητος.

⟨κθ'⟩

1 Ἐγκαρ⟨σ⟩ίῳ τοῦ σταυροῦ δὲ πᾶσα κτίσις
ἠρτημένη Θεοῦ ἐμφανίζεται,
ἀρχὴν ἑτέραν Θεοῦ πλὴν οὐκ ἔχουσα.

⟨λ', μαρτυρικόν⟩.

1 Λαμπρῶς πάντας ἀοράτους ὁρατούς τε
κακοτρόπους νικήσαντες, μάρτυρες,
δικαίᾳ ψήφῳ ἀγγέλων προφέρετε.

⟨λα', τριαδικόν⟩.

1 Ὁ τοῦ Υἱοῦ ἀμέσως λέγων κατ' οὐσίαν
προβεβλῆσθαι τὸ Πνεῦμα, πατρόθεν δὲ
ἐμμέσως, τέμνει φύσιν τῆς θεότητος.

⟨λβ'⟩ θ⟨εοτοκίον⟩.

1 Σταυροῦ πάθος ὁ Υἱός σου, Παναγία,
ὑπομείνας, ἡμῖν ἐχαρίσατο
ζωὴν καὶ δόξαν καὶ Πνεύματος ἔλλαμψιν.

---

O
κθ' 1. ἐγκαρσίῳ scripsi: ἐγκαρίῳ O.

---

λβ' 1-2. Ἑβρ. ιβ' 2.

## *ΤΩ ΣΑΒΒΑΤΩ.*

*Μνή⟨σθητί μου⟩.*

*⟨λγ'⟩*

*1 Τῇ μὲν ὕλῃ ἀυλίαν, τοῖς δὲ πόνοις*
*ἀφθαρσίαν ἐκτήσασθε, Μάρτυρες,*
*καὶ ὕβριν δόξης αἰτίαν ἐσχήκατε.*

*⟨λδ'⟩*

*1 Ἀποστόλους καὶ προφήτας καὶ ὁσίους*
*διδασκάλους ἐδόξασας, Κύριε,*
*σπουδῇ γὰρ ἔνθεν τὴν χάριν εἰλήφασιν.*

*⟨λε'⟩*

*1 Λῦσον, Λόγε, τῶν ἐν πίστει κοιμηθέντων*
*τὰ ἐν γνώσει, ἀγνοίᾳ τε πταίσματα,*
*πρὶν ἢ τὸ μέλλον κριτήριον στήσεται.*

*⟨λϛ', τριαδικόν⟩.*

*1 Ἀδιαίρετος ἡ φύσις τῶν προσώπων*
*τῆς Τριάδος, διὸ οὐ προβέβληται*
*Πατρὶ ἐμμέσως τὸ Πνεῦμα τὸ ἅγιον.*

*⟨λζ'⟩ θ⟨εοτοκίον⟩.*

*1 Συναχθήσονται οἱ δίκαιοι πρὸς μέσον*
*τὸν ἀέρα τοῦ σοῦ πρὸς ὑπάντησιν*
*Υἱοῦ, Παρθένε, οἷς περ κἀμὲ σύνταξον.*

*(Συνεχίζεται)*

---

*λδ' 1-2.* Α' Βασ. β' 30.
*λε' 3.* Δαν. ζ' 10.
*λζ' 1-3.* Α' Θεσ. δ' 17.